## τὸ δωδέκατον ἀνάγνωσμα

Σάρα δὲ ἡ γυνὴ Ἄβραμ οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἁγάρ. εἶπε δὲ Σάρα πρὸς Ἄβραμ· "ἰδοὺ συνέκλεισέ με κύριος τοῦ μὴ τίκτειν· εἴσελθε οὖν πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς." ὑπήκουσε δὲ Ἄβραμ τῆς φωνῆς Σάρας. καὶ λαβοῦσα Σάρα ἡ γυνὴ Ἄβραμ Ἁγὰρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην—μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι ἐν γῇ Χανάαν—καὶ ἔδωκεν αὐτὴν Ἄβραμ τῷ ἀνδρὶ αὐτῆς αὐτῷ γυναῖκα. καὶ εἰσῆλθε πρὸς Ἁγὰρ, καὶ συνέλαβε. καὶ εἶδεν ὅτι ἐν γαστρὶ ἔχει, καὶ ἀτιμάζεται ἡ κυρία ὑπ' αὐτῆς. εἶπε δὲ Σάρα πρὸς Ἄβραμ· "ἀδικοῦμαι ἐκ σοῦ· ἐγὼ ἔδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου, ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει, ἀτιμάζομαι ὑπ' αὐτῆς· δεῖ τὸν θεὸν κρίνειν σὲ ἢ ἐμέ." εἶπε δὲ Ἄβραμ πρὸς Σάραν· "ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου· χρῶ αὐτῇ, ὡς ἄν σοι ἀρεστὸν ᾖ." καὶ ἐκάκωσεν αὐτὴν Σάρα καὶ ἀπήλασε ἀπὸ προσώπου αὐτῆς. ηὗρε δὲ αὐτὴν ἄγγελος κυρίου ἐπὶ τῆς κρήνης τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐπὶ τῆς κρήνης ἐν τῇ ὁδῷ πρὸς τὴν Σούρ. καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου· "ὦ Ἁγὰρ, παιδίσκη Σάρας, πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ;" καὶ εἶπεν· "ἀπὸ προσώπου Σάρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω." εἶπε δὲ αὐτῇ ὁ ἄγγελος κυρίου, "ἀποστρέφου πρὸς τὴν κυρίαν σου καὶ ταπεινοῦ ὑπὸ τὰς χεῖρας αὐτῆς." καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου· "πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐ δυνατὸν ἔσται τὸ πλῆθος ἀριθμεῖν." καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου· "ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαὴλ, ὅτι ἐπήκουσε κύριος τῇ ταπεινώσει σου. . . ." καὶ ἔτεκεν Ἁγὰρ τῷ Ἄβραμ υἱόν, καὶ ἐκάλεσεν Ἄβραμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ, ὃν ἔτεκεν αὐτῷ Ἁγὰρ,Ἰσμαήλ. Ἄβραμ δὲ ἦν ὀγδοήκοντα ἓξ ἐτῶν, ἡνίκα ἔτεκεν Ἁγὰρ τὸν Ἰσμαὴλ τῷ Ἄβραμ.

---

## Notes

τεκνοποιήσῃς: ἐνετύχετε τούτῳ τῷ ῥήματι ἐν τῷ ἐνάτῳ ἀναγνώσματι: *ἡ γὰρ Σάραν στεῖρα καὶ οὐ δυνατή ἐστι τεκνοποιεῖν.*

---

## Vocabulary

※ Green background color indicates core vocabulary.

| **Nouns** (τὰ ὀνόματα) | **English Definition** | **Dict.** | **Gram.** | **Author** |
|---|---|---|---|---|
| ἡ φωνή, τῆς φωνῆς | speech, voice, utterance | LSJ | 216 | Her. Xen. |
| ὁ κόλπος, τοῦ κόλπου | bosum, lap, fold, hollow | LSJ | 231 | Her. |
| ὁ ἄγγελος, τοῦ ἀγγέλου | messenger | LSJ | 231 | Her. |
| τὸ πλῆθος, τοῦ πλήθου | a great number, multitude | LSJ | 231 | Her. Xen. |
| ἡ ταπείνωσις, τῆς ταπεινώσεως | lowering, humiliation | LSJ | 268 | |

| **Adjectives** (τὰ ἐπίθετα) | **English Definition** | **Dict.** | **Gram.** | **Author** |
|---|---|---|---|---|
| ἀρεστός, -ή, -όν | pleasing, acceptable | LSJ | 287 | Her. |

| **Verbs** (τὰ ῥήματα) | **English Definition** | **Dict.** | **Gram.** | **Author** |
|---|---|---|---|---|
| τίκτω, τέξω, ἔτεκον | I bring forth, give birth, (of males) beget | LSJ | 383 | Her. |
| συγκλείω, συγκλείσω, συνέκλεισα | I close, shut up | LSJ | 383 | |

| | | | | |
|---|---|---|---|---|
| ὑπακούω, ὑπακούσομαι, ὑπήκουσα | I listen to, heed, give ear to | LSJ | 383 | Xen. |
| ἀτιμάζω, ἀτιμάσω, ἠτίμησα | I dishonor, insult | LSJ | 383 | Xen. |
| κρίνω, κρινῶ, ἔκρινα | I choose, decide, judge | LSJ | 383, 401, 402 | Her. Xen. |
| κακόω (κακῶ), κακώσω, ἐκάκωσα | I mistreat (of people), ruin (of things) | LSJ | 385 | Her. Xen. |
| εὑρίσκω, εὑρήσω, ηὗρον | I discover, find | LSJ | 383 | Her. Xen. |
| ἀποδιδράσκω, ἀποδράσομαι, ἀπέδραν | I run away, escape, flee from | LSJ | 383 | Xen. |
| ἀποστρέφω, ἀποστέψω, ἀπέστεψα | I turn back, turn away | LSJ | 383 | Her. Xen. |
| ταπεινόω (ταπεινῶ), ταπεινώσω, ταπείνωσα | I lower, reduce, humble | LSJ | 385 | |
| πληθύνω, πληθυνῶ, ἐπλήθυνα | I increase, multiply | LSJ | 383, 401, 402 | Her. |